λαμπρότητα, συμφορὰς δ᾽ ἀνηκέστους οὐκ ἂν προσβάλοιεν, ἀλλ᾽ ὥσπερ οἰκίας ὑπερεχούσης τὸ ἐπισκοτοῦν αὐτοῖς καθελόντες ἀρκοῦνται.

40.

# ΠΕΡΙ ΤΟΥ 539
# ΕΑΥΤΟΝ ΕΠΑΙΝΕΙΝ ΑΝΕΠΙΦΘΟΝΩΣ 6

(Plan. 8)

1. *Τὸ περὶ ἑαυτοῦ λέγειν ὥς τι ὄντος ἢ δυναμένου πρὸς ἑτέρους, ὦ Ἥρκλανε, λόγῳ μὲν ἐπαχθὲς ἀποφαίνουσι πάντες καὶ ἀνελεύθερον, ἔργῳ δ᾽ οὐ πολλοὶ τὴν ἀηδίαν* B *αὐτοῦ διαπεφεύγασιν οὐδὲ τῶν ψεγόντων. ὁ γοῦν Εὐρι-* 11 *πίδης εἰπών* (fr. 978)

*εἰ δ᾽ ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,*
*οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·*
*νῦν δ᾽, ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος* 15